ἀρθρ. ςιχ.
τοῦ πρόσθεν ἄλλο χεῖρον, ἢ δεινὸν μόρον· κθ. 627
τοὐναντίον δὲ καρτερῶν ὡς οἱ πάλαι λ. 640
τηρῶν προθεσμίαν τε τήν τ' ἐγκαιρίαν, καὶ ἑξ.
φύσει τ' ἐπαρκῶν ἐν δέοντι μετρίως
ἀπλουστέροις μὲν, ἀλλὰ δήπου συμφόροις,
ἀνασομωτικοῖς τε πεπτικοῖς θ' ὅσοις,
σωτηρίους δέδορκεν ἐν τάχει κρίσεις,
τουτέστι δεινῶν ἀθρόας λύσεις νόσων.

MZ. Κἄπειτ' Ἰατροῦ καὶ σκοπός γε καὶ τέλος
εὐεξίαν ἐστ' ἐς τόγ' ἀρχαῖον φέρειν,
ἢ τήνδε σώζειν· ἡ δὲ χρῆσις φαρμάκων
ἐνταῦθα πάντως γ' ἐστὶ τῶν ὧν οὐκ ἄνευ,
δι' ὧν ὅγ' αὖθις εἰς ἀνάκτησιν φέρει
τήνδε βλαβεῖσαν κἀπολωλυῖαν πάλαι,
ἢ καὶ παροῦσαν οἶδε σώζειν ὡς δέον.
τὰ γοῦν δι' ὧνπερ εὐθέτως χρεὼν ἔχειν,
ὡς ἂν δι' αὐτῶν τῷδ' ἂν εἴη τυγχάνειν
ῥᾷον σκοποῦ τε καὶ προκειμένου τέλους,
ὅγ' ἐστ' ἀναιρεῖν ὡς ἔνεστι ῥᾳδίως
καὶ συντόμως πᾶν ἐκ μέσου τὸ κωλύον,
τὴν δραστικὴν δήπουθεν αἰτίαν νόσου.
οἰκεῖα τοίνυν προσφυῆ τε χρὴ τάδε
ὀρθῶς τ' ἐφαρμόττοντα τῆσδ' ἀναιρέσει, μ. 848
τοσαῦτα δ' ὄντα τῷ ποσῷ τε τυγχάνειν,
ὡς ἐξισοῦσθαι ταῦτα τῇδ' ἰσορρόπως (θ),
μη-

(θ) Περὶ τόπ. τῶν κατ' ἄνθρ. υε. διαίτ. Α. γ.